Paris 1295 - f. 305 v.

## III.

Ὁ κανών, οὗ ἡ ἀκροστιχίς·
Τῷ τῶν θεηγόρων ἄκρῳ ὕμνος λόγος ἐξ ἀδελφοῦ Ἰωάννου.

Ἦχου πλαγίου δ'.
Ὠδὴ α'. Ἁρματηλάτην Φαραώ.

Τὴν θεολόγον καὶ γλυκεῖαν γλῶττάν σου,
πάτερ πανεύφημε,
καὶ τὸ τερπνὸν στόμα
τὸ πνευματοκίνητον
καὶ τὴν λαμπρὰν διάνοιαν
ἔδει νῦν κινηθῆναι
ἐπὶ τοῖς σοῖς ὕμνοις σήμερον
τὴν πολλοὺς ἀξίως κοσμήσασαν.
Ὡς νουνεχής, ὡς ἐκφυτεύσας ἄριστα
φόβον Θεοῦ τὸν ἁγνὸν
ἐν τῇ ψυχῇ, μάκαρ,
σκεῦος καθαρώτατον
ἡγιασμένον γέγονας
ἐκλογῆς καὶ ἁγνείας
καὶ παρθενίας ὡς ἄγγελος
καὶ μετὰ σαρκὸς ζήσας, ὅσιε.
Τὴν θεοκρότητον μεγάλην σάλπιγγα
τῆς ὑψηλῆς καὶ σοφῆς
καὶ εὐσεβοῦς ὄντως
θεολογίας ἅπαντες,
τῆς ἀληθείας κήρυκα
διαπρύσιον μέχρις
αἱμάτων, Μάρκον τὸν μέγιστον
ᾄσμασι δικαίοις τιμήσωμεν.
Ὢ τῶν μεγάλων καὶ πολλῶν ἀγώνων σου,
μάκαρ θεσπέσιε,
τῶν ἐκ παιδὸς αὖθις
τῶν ἐν τῇ νεότητι,
τῶν ἐν τῷ θείῳ σχήματι,
τῶν λαμπρῶν σου τροπαίων
ὑπὲρ εὐσεβείας ἔμπροσθεν
παγκοίνου θεάτρου τῆς κτίσεως.